ἢ τοὺς ἐμούς τις παῖδας ἐξανέξεται
Φθίας τυράννους ὄντας, ἢν σὺ μὴ τέκῃς;
φιλοῦσι γάρ μ' Ἕλληνες Ἕκτορός τ' ἄπο.
αὐτή τ' ἀμαυρὰ κοὐ τύραννος ἢ Φρυγῶν.
οὐκ ἐξ ἐμῶν σε φαρμάκων στυγεῖ πόσις,
ἀλλ' εἰ ξυνεῖναι μὴ 'πιτηδεία κυρεῖς.
φίλτρον δὲ καὶ τόδ'· οὐ τὸ κάλλος, ὦ γύναι,
ἀλλ' ἀρεταὶ τέρπουσι τοὺς ξυνευνέτας.
σὺ δ' ἤν τι κνισθῇς, ἡ Λάκαινα μὲν πόλις
μέγ' ἐστί, τὴν δὲ Σκῦρον οὐδαμοῦ τιθεῖς,
πλουτεῖς δ' ἐν οὐ πλουτοῦσι, Μενέλεως δέ σοι
μείζων Ἀχιλλέως. ταῦτά τοι σ' ἔχθει πόσις.
χρὴ γὰρ γυναῖκα, κἂν κακῷ πόσει δοθῇ,
στέργειν ἅμιλλάν τ' οὐκ ἔχειν φρονήματος.
εἰ δ' ἀμφὶ Θρῄκην χιόνι τὴν κατάρρυτον
τύραννον ἔσχες ἄνδρ', ἵν' ἐν μέρει λέχος
δίδωσι πολλαῖς εἷς ἀνὴρ κοινούμενος,
ἔκτεινας ἂν τάσδ'; εἶτ' ἀπληστίαν λέχους
πάσαις γυναιξὶ προστιθεῖσ' ἂν ηὑρέθης.
αἰσχρόν γε· καίτοι χεῖρον' ἀρσένων νόσον
ταύτην νοσοῦμεν, ἀλλὰ προὔστημεν καλῶς.
ὦ φίλτατ' Ἕκτορ, ἀλλ' ἐγὼ τὴν σὴν χάριν
σοὶ καὶ ξυνήρων, εἴ τί σε σφάλλοι Κύπρις,
καὶ μαστὸν ἤδη πολλάκις νόθοισι σοῖς
ἐπέσχον, ἵνα σοι μηδὲν ἐνδοίην πικρόν.
καὶ ταῦτα δρῶσα τῇ ἀρετῇ προσηγόμην
πόσιν· σὺ δ' οὐδὲ ῥανίδ' ὑπαιθρίας δρόσου

201 ἢ *B* ἤ *b* 203 fort. Ἕκτορος χάριν 204 fort. αὐτὴ δ' | ἀμαυρᾶ *B* ἀμαυρὰ *b* | ἢν libri (ἦν *A*) 207 γῦναι *A* 208 αἱ ἀρεταὶ *ABE*, αἱ 'ρεταὶ *LP* | τέρπουσι om. *P* 210 τιθεῖς *B* τίθης *b*, τίθεις mut. in τίθης *P*, τίθηις *A*, τίθης *EL* 211 μενέλαος *A* 212 ἀχιλέως *B*, ἀχι*λεως *L* λ super λ scr. *l* | ἐχθεῖ *Ab* 213 χρῆν *P*, fort. δεῖ | fort. κἂν πόσει φαύλῳ συνῇ 214 ἄμιλλαν *A* 215 τὴν om. *E* 216 λέχους *P* 217 κοινούμενος *BEP* (μ super prius ν scr. *b*), κοιμώμενος *AL* 219 προστιθεῖς *A* | εὑρέθης libri 220 sq. delet H. Hirzel 220 χεῖρον *E* | ἀρσένων] ἀνῶν *L* 221 προὔστημεν *BL*, προύστημεν *l* 223 ξυνήρων *B* η in ει mut. *b* | εἴ τι σε σφάλλοι *E*, εἴ τι σε σφά**οι *L*, εἴ τι σε σφάλοι *Pbl*, εἴ τίς σε σφάλοι *A*, εἰ τι σ' ἐσφάλη *B* 224 μασθὸν *B* corr. *b* | ἤδη] fort. ἕλκειν 225 ἐπεῖχον Nauck | ἐνδῴην *P* 226 τῇ 'ρετῇ *LP* 227 ὑπ' αἰθρίας *B* corr. *b*